τούτων ψυχαί, καλὰς ἐλπίδας ἔχειν σε δεῖ περὶ τοῦ μακαρίτου υἱέος σου, ὅτι τούτοις συγκαταριθμηθεὶς συνέσται.

**35.** Λέγεται δ' ὑπὸ μὲν τοῦ μελικοῦ Πινδάρου ταυτὶ περὶ C
τῶν εὐσεβῶν ἐν Ἅιδου (fr. 130. 1)

'τοῖσι λάμπει μὲν μένος ἀελίου τὰν ἐνθάδε νύκτα κάτω,
φοινικορόδοις ⟨δ'⟩ ἐνὶ λειμώνεσσι προάστιον αὐτῶν.
καὶ λιβανῳ σκιαρᾷ καὶ χρυσοκάρποισιν βέβριθε
⟨δενδρέοις⟩,
καὶ τοὶ μὲν ἵπποις γυμνασίοις ⟨τε⟩, τοὶ δὲ πεσσοῖς,
τοὶ δὲ φορμίγγεσσι τέρπονται, παρὰ δέ σφισιν εὐανθὴς
ἅπας τέθηλεν ὄλβος.
ὀδμὰ δ' ἐρατὸν κατὰ χῶρον κίδναται
αἰεὶ θύα μιγνύντων πυρὶ τηλεφανεῖ παντοῖα θεῶν ἐπὶ
βωμοῖς'.

καὶ μικρὸν προελθὼν ἐν ἄλλῳ θρήνῳ περὶ ψυχῆς λέγων φησίν

'ὄλβιοι δ' ἅπαντες αἴσᾳ λυσιπόνων τελετᾶν'.

καὶ 'σῶμα μὲν πάντων ἕπεται θανάτῳ περισθενεῖ, D
ζωὸν δ' ἔτι λείπεται αἰῶνος εἴδωλον· τὸ γάρ ἐστι μόνον
ἐκ θεῶν. εὕδει δὲ πρασσόντων μελέων, ἀτὰρ εὑδόντεσσιν
ἐν πολλοῖς ὀνείροις
δείκνυσι τερπνῶν ἐφέρποισαν χαλεπῶν τε κρίσιν.'

**36.** Ὁ δὲ φιλόσοφος Πλάτων πολλὰ μὲν ἐν τῷ Περὶ ψυχῆς